φρονήσας τῶν τῇδε, ϗ ἀποδεδωκὼς ἑαυτὸν τῷ λόγῳ τοῦ Θεοῦ, ϗ ἐμπαρέχων ἑαυτοῦ τὸ ἡγεμονικὸν τοῖς ὑπὲρ ἄνθρωπον ϗ θειοτέροις νοήμασιν, οὗτος ἂν εἴη ὁ συντετριμμένην ἔχων τὴν καρδίαν, ϗ ποιήσας αὐτὴν θυσίαν οὐκ ἐξουδενωμένην ὑπὸ τοῦ Κυρίου· οὓς δὲ εὐεργετεῖ ὁ Θεὸς βουλόμενος αὐτοὺς ἐν καινότητι ζωῆς περιπατῆσαι, συντρίβει αὐτῶν τὸν παλαιὸν ἄνθρωπον· διὰ τοῦτο θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· συντρίβεται γὰρ τὸ πνεῦμα τοῦ κόσμου τὸ ἐνεργῆσαν τὴν ἁμαρτίαν, ἵνα τὸ εὐθὲς ἐγκαινισθῇ τοῖς ἐγκάτοις· ϗ δεῖ τὴν μεγαλόφρονα καρδίαν ἑαυτῶν ϗ οἰδοῦσαν συντρίβειν· ἵνα γένηται θυσία τῷ Θεῷ ἡ ταπείνωσις αὐτῆς· λέγει ϗ ὁ ὅσιος Μάρκος „Ἄνευ συντριμμοῦ καρδίας, ἀδύνατον ἀπαλλαγῆναι κακίας· συντρίβει δὲ καρδίαν ἡ τριμερὴς ἐγκράτεια, ὕπνου, λέγω, ϗ γαστρὸς, ϗ σωματικῆς ἀνέσεως· λέγει δὲ ϗ ὁ Θεοδώριτος „Τῆς θείας ἀκούσας φωνῆς ὁ θειότατος Δαβὶδ „Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους, ἱερεῖόν σοί, φησιν, ἀρεςὸν ϗ θυμῆρες μετριότης φρονήματος, διὸ σφόδρα μου τὴν καρδίαν ταπεινώσας, ϗ οἱονεὶ συντρίψας ϗ λίαν αὐτὴν λεπτύνας, τὴν ἀρεςήν σοι θυσίαν προσκομιῶ· τούτοις ϗ οἱ μακάριοι παῖδες ἐν τῇ καμίνῳ τοῖς λόγοις ἐχρήσαντο „Ἐν καρδίᾳ γὰρ ἔλεγον συντετριμμένῃ, ϗ πνεύματι ταπεινώσεως προσδεχθείημεν ἐνώπιόν σου, ὡς ἐν ὁλοκαυτώμασι κριῶν ϗ ταύρων πιόνων· συμφώνως καὶ ὁ Ἡσύχιος λέγει „Τὴν ταπεινοφροσύνην θυσίαν ἀρεςὴν τῷ Θεῷ εἶναι τὸ πνεῦμα ἐκτίθεται· „Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐςιν ἡ Βασιλεία τῶν οὐρανῶν· πῶς δὲ ἡμῶν τὸ πνεῦμα ἐπὶ τῷ ταπεινωθεῖναι συντρίψομεν; ὅταν καλὸν μὲν πράξαντες μὴ ἐπαρθῶμεν, διηνεχῆ δὲ μνήμην τῶν ἁμαρτημάτων ἔχωμεν (ἐν τῇ ἐκδεδ. Σειρ.) Ἐν δὲ τῇ ἑρμηνείᾳ τοῦ Ἐλέησόν με ὁ Θεὸς γράφεται ϗ ταῦτα, ὅτι ἀγκαλὰ καὶ πνεῦμα συντετριμμένον ϗ καρδία τεταπεινωμένη εἶναι χωρισμένα, ὅμως εἰς τὸν ἀληθῶς μετανοοῦντα συντρέχουν ὁμοῦ· καθὼς συντρέχουν ϗ εἰς τὸν ἁμαρτωλὸν πνεῦμα ὑπερήφανον ϗ καρδία σκληρά· διὰ τὶ ὁποῖος ἁμαρτάνει, ἀπὸ τὴν ὑπερηφάνειαν τοῦ πνεύματός του, ϗ ἀπὸ τὴν σκληρότητα τῆς καρδίας του ἁμαρτάνει. Σημείωσαι δὲ, ὅτι ὁ ἱερὸς Αὐγουςῖνος ὀνομάζει τὰ δάκρυα, ἱδρῶτα τῆς καρδίας ϗ αἷμα τῆς ψυχῆς· καὶ λοιπὸν ὅποιος κλαίει διὰ τὰς ἁμαρτίας του, αὐτὸς προσφέρει εἰς τὸν Θεὸν διὰ τῶν δακρύων του, μίαν θυσίαν εὐάρεστον, τὸν ἱδρῶτα τῆς καρδίας του, ϗ τὸ αἷμα τῆς ψυχῆς του· ὅθεν ϗ ἕνας ἅγιος εἰς τοῦτο ἀποβλέπων· ἤτοι εἰς τὴν θυσίαν ταύτην, εἶπε „Μᾶλλον δέχεται ὁ Θεὸς μετάνοιαν τοῦ ταπεινοῦ ϗ συντετριμμένου μετανοοῦντος, ἢ τὸ ἀνεύθυνον τοῦ χλιαροῦ ϗ ἀνειμένου δικαίου.

(1) Ὁ δὲ θεῖος Ἀμβρόσιος θυσίαν δικαιοσύνης ἐννοεῖ τὴν μεγάλην θυσίαν τοῦ τιμίου σώματος ϗ αἵματος τοῦ Χριςοῦ, τὴν ὁποίαν προσφέρουν οἱ ἱερεῖς τῆς χάριτος εἰς τὰς ἁγίας Τραπέζας· καθὼς παρέδωκε μόνος ὁ Κύριος εἰπὼν περὶ αὐτῆς· „Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

(2) Ὁ δὲ θεῖος Διονύσιος λέγει „Ἔςι δὲ τὸ θειότατον ἡμῶν θυσιαστήριον ὁ Χριςὸς· ἐν ᾧ κατὰ τὸ λόγιον (ἴσως τοῦτο·) ἀφιερούμενοι ϗ μυςικῶς ὁλοκαυτούμενοι, τὴν προσαγωγὴν ἔχομεν· ἐν ᾧ τὰ τελούμενα τελεῖται ϗ ἁγιάζεται· ἁγιάζει γὰρ ὑπὲρ ἡμῶν ἑαυτὸν ὁ παναγιώτατος Ἰησοῦς· ϗ πάσης ἡμᾶς ἁγιστείας πληροῖ, τῶν ἐπ᾽ αὐτοῦ τελουμένων οἰκονομικῶς, εἰς ἡμᾶς ὡς θεογεννήτους λοιπὸν ἀγαθουργικῶς διαβαινόντων.

(3) Ὁ δὲ Κύριλλος ϗ Εὐσέβιος, Σιὼν ἐννοοῦσι πάλιν τὴν αὐτὴν Ἐκκλησίαν· καθότι καὶ ἡ Σιὼν δὲν ἦτον ἑτέρα τῆς Ἱερουσαλήμ.

(4) Κατὰ δὲ τὸν Κύριλλον καὶ Εὐσέβιον, τεῖχος Ἐκκλησίας μέγα ϗ ἀπρόβλητον ϗ τῶν ἄλλων περιεκτικὸν, αὐτὸς εἶ-

ὁμολογηταί · ὡς ὁλοκαυτώματα δὲ, θέλει δεχθῇ τοὺς Μάρτυρας, οἵτινες ὁλοκλήρως βασανισθέντες καὶ σφαγέντες ἀπέθανον · ἢ ὡς ἀναφορὰν μὲν δέχεται ἐκ τῆς Ἐκκλησίας ὁ Θεὸς, τὴν μερικὴν ἀρετὴν καὶ σωφροσύνην: ἤτοι τὴν ἐν γάμῳ, ἢ ἐν ἄλλῳ βιωτικῷ τάγματι · ὡς ὁλοκαύτωμα δὲ δέχεται, τὴν τελείαν ἀρετὴν· ἤγουν τὴν ἐν παρθενίᾳ καὶ τῇ μοναχικῇ πολιτείᾳ · (1)

Μόσχοι δὲ νοοῦνται οἱ πιστοὶ Χριστιανοί · διὰ τὶ ἐργάζονται τὰς ἀρετὰς, διὰ τὶ εἶναι παχεῖς μὲ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος · καὶ διὰ τὶ κερατίζουσι τὰ πάθη καὶ τὸν διάβολον · καὶ διὰ νὰ εἴπωμεν καθολικῶς, ὅλοι ἐκεῖνοι ὁποῦ εἶναι τέλειοι κατὰ τὴν πρᾶξιν καὶ τὸν λόγον καὶ τὴν θεωρίαν, αὐτοὶ εἶναι μόσχοι καὶ ἀναφέρονται εἰς τὸ ἐπουράνιον θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ · (2) Πρέπει δὲ νὰ ἠξεύρωμεν, ὅτι πολλοὶ πολλάκις ἐξηγηταὶ τὸν μέλλοντα χρόνον ἐκλαμβάνουσιν ἀντὶ εὐκτικοῦ, λέγοντες, ὅτι καὶ τοῦτο κοντὰ εἰς τὰ ἄλλα, εἶναι ἰδίωμα τῆς Ἑβραϊκῆς γλώσσης · ὅθεν τὸ ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι, νοοῦσιν ἀντὶ εὐκτικῶν · ἤτοι ῥαντίσαις με, καθαρισθείην, πλύνοις με, λευκανθείην, καὶ ἄλλα ὅμοια ·

Ψαλ-

εἶναι ὁ Χριστός · τείχη δὲ αὐτῆς ἄλλα, εἶναι αἱ ἀγγελικαὶ καὶ λογικαὶ Δυνάμεις, αἱ τὴν Ἐκκλησίαν φυλάττουσαι.

(1) Λέγει δὲ ὁ Θεοδώριτος „ Ἐπειδὴ ἔδειξε τὸν τῶν ὅλων Θεὸν ταῖς κατὰ Νόμον θυσίαις οὐκ ἀρεσκόμενον, ἱκετεύει τὴν νέαν ἀναφανῆναι Σιὼν, καὶ τὴν ἐπουράνιον Ἱερουσαλὴμ ἐπὶ γῆς πολισθῆναι, καὶ ὅτι τάχιστα παρασχεθῆναι τὴν καινὴν πολιτείαν, τὴν οὐκ ἄλογα προσφέρουσαν θύματα, ἀλλὰ τὴν τῆς δικαιοσύνης ἀναφορὰν καὶ θυσίαν, καὶ τὰ λογικὰ καὶ ζῶντα ὁλοκαυτώματα· περὶ ὧν ὁ μακάριος λέγει Παῦλος· Παρακαλῶ ὑμᾶς ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. (Ῥωμ. ιϛ΄.)

(2) Ὅθεν εἶπε καὶ ὁ Δίδυμος „ Ἐπὶ τὸ πνευματικὸν θυσιαστήριον ἀνοίσουσι μόσχους νεοπόνους ἔχοντας ἀμοτρα: τουτέστι ψυχὰς, οὐκ ἄλλας τυγχανούσας τῶν ψυχῶν τῶν Μαρτύρων, ὀφθείσας παρὰ τὸ ἐπουράνιον Θυσιαστήριον ἀναφερομένας ἐπ' αὐτῷ μόσχων δίκην· ἐν γὰρ τῇ Ἀποκαλύψει Ἰωάννου αἱ τῶν πεπελεκισμένων ψυχαὶ διὰ τὸ ὄνομα Ἰησοῦ, καὶ τὴν μαρτυρίαν αὐτοῦ, ὑπὸ τὸ Θυσιαστήριον τὸ ἐπουράνιον τεθεώρηνται· (Ἀποκ. ϛ΄. 9.) θυσία δὲ δικαιοσύνης κατὰ τὸν Εὐσέβιον εἶναι ἡ πνευματικὴ καὶ καθαρὰ θυσία, ἡ ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καθ' ὅλης τῆς οἰκουμένης προσφερομένη, περὶ ἧς προεῖπεν ὁ Μαλαχίας „ Ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά. (Μαλ. α. 1.)

(3) Ὥσπερ καὶ ὁ μόσχος εἶναι ἱερὸν ζῶον κατὰ Νόμον καὶ καθαρὸν, καὶ μεῖζον κατὰ τὸ σῶμα, τῆς αἰγὸς καὶ τοῦ προβάτου τῶν τῷ Θεῷ προσφερομένων καὶ αὐτῶν, κατὰ τὸν θεῖον Κύριλλον· ἢ μόσχοι νοοῦνται καὶ οἱ τῶν λαῶν ἡγούμενοι διὰ τὴν πνευματικὴν καὶ νοητὴν αὐτῶν εὐανδρίαν, κατὰ τὸν αὐτὸν Κύριλλον· ὅθεν καὶ Παῦλος εἶπε περὶ αὐτῶν „ Οὐ φιμώσεις βοῦν ἀλοῶντα· εἶτα ἐπενεγκὼν „ Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει.

ΨΑΛΜΟΣ ΝΑ'.

„ Εἰς τὸ τέλος, Ψαλμὸς συνέσεως τῷ Δαβὶδ, ἐν τῷ ἐλθεῖν Δωὴκ
„ τὸν Ἰδουμαῖον (1) καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ,
„ καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαβὶδ εἰς τὸν
οἶκον Ἀβιμέλεχ.

Ὅταν ὁ Δαβὶδ ἔφευγεν ἀπὸ τὸν Σαοὺλ, ἐπειδὴ ἐκινδύνευσε· καὶ ἐλθὼν εἰς τὴν Νομβᾶ, τὴν πόλιν τῶν Ἱερέων πρὸς τὸν Ἀβιμέλεχ τὸν Ἀρχιερέα, ἐποίησεν ἐκεῖ, ὅσα ἐξηγήσαμεν εἰς τὴν ἐπιγραφὴν τοῦ λγ'. Ψαλμοῦ· ἤγουν ἔφαγεν ἀπὸ τοὺς ἄρτους τῆς προθέσεως, καὶ ἐπῆρε καὶ τὴν ῥομφαίαν τοῦ Γολιαθ τὴν ἐκεῖσε εὑρισκομένην· τὸν Δαβὶδ λοιπὸν ἰδὼν ἐκεῖ κάποιος Δωὴκ, ὁ ἐπιμελούμενος τὰ μουλάρια τοῦ Βασιλέως Σαοὺλ: ἤτοι ὁ μουλαροβοσκός· (ὅστις εὑρίσκετο τότε εἰς τὴν σκηνὴν, μὲ τὸ νὰ ἐνοχλεῖτο ἀπὸ Δαίμονα ἢ ἀσθένειαν, κατὰ τὸν Θεοδώριτον·) ἐφανέρωσε τοῦτο εἰς τὸν Σαοὺλ· ὁ δὲ Σαοὺλ τοῦτο μαθὼν, τόσον πολλὰ ἐθυμώθη, ὥστε ὁποῦ ἔφερε τὸν Ἀβιμέλεχ καὶ τοὺς τριακοσίους πεντήκοντα Ἱερεῖς, καὶ ἐπρόσαξε τὸν Δωὴκ καὶ ἐθανάτωσεν αὐτούς· κατέσφαξε δὲ καὶ ὅλους τοὺς κατοίκους τῆς πόλεως Νομβᾶ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ὅλην τὴν πόλιν διέφθειρε· (καθὼς ταῦτα ἱστορεῖ ἡ Α'. τῶν Βασιλειῶν ἐν κεφαλ. κα'. καὶ κβ'.) τοῦτο δὲ τὸ συμβεβηκὸς μαθὼν ὁ Δαβὶδ, ἔγραψε τὸν παρόντα Ψαλμὸν πρὸς ὑπομονὴν ἐκείνων, ὁποῦ ἀδικοῦνται· (2) εἰς τέλος δὲ ἐπιγράφεται, διὰ τὶ παραινεῖ τοὺς ἀδικουμένους νὰ βλέπουν τὶ κακὸν τέλος ἔχουν νὰ δώσουν οἱ αὐτοὺς ἀδικοῦντες, καὶ οὕτω νὰ μακροθυμοῦν καὶ νὰ ὑπομένουν εὐχαρίστως· συνέσεως δὲ ἐπιγράφεται, διὰ τὶ ὁποῖος ἀδικεῖται, χρειάζεται σύνεσιν καὶ φρόνησιν εἰς τὸ νὰ κάμῃ ὑπομονήν. (3)

1: „ Τί

---

(1) Ἡ δὲ πρώτη τῶν Βασιλειῶν Σύρον αὐτὸν ὀνομάζει πανταχοῦ. (κεφ. κα'. κβ'.)

(2) Ὁ δὲ Θεοδώριτος ϗ ὁ Βίκτωρ λέγουσιν, ὅτι ὁ Ψαλμὸς οὗτος προφητεύει διὰ τὸν Ῥαψάκην, ὅστις Ἰουδαῖος ὢν, μετεβάλετο τοῖς τρόποις, καὶ συνεβούλευεν αὐτοῖς προδοῦναι τοῖς Ἀσσυρίοις τὴν Ἱερουσαλὴμ, ὡς οὐδὲν αὐτοῖς ὠφελεῖν τοῦ Θεοῦ δυναμένου.

(3) Θαυμαστὴ εἶναι ἡ ἀλληγορικὴ ἑρμηνεία ὁποῦ ποιεῖ εἰς τὴν ἐπιγραφὴν ταύτην ὁ Νύσσης Γρηγόριος λέγων· „ Διὰ τοῦ ἐπιγράφθαι εἰς τὸ τέλος ϗ συνέσεως ϗ τὰ ἑξῆς· διδάσκομαι, ὅτι τοῦτο μὲν εἰς τὸ τέλος τῆς νίκης ἄγει, ὅταν σύνεσις καθηγῆται τοῦ βίου καθ' ὁμοιότητα τοῦ μεγάλου Δαβὶδ, ϗ τότε μάλιστα λυπῶ τὸν Δωὴκ τὸν τῆς ἐμῆς σωτηρίας τύραννον ἐν τῷ οἴκῳ τοῦ ἱερέως γενόμενος· καὶ ὅταν ὁ ἡμιόνων ὑπηρέτης, μηκέτι μοι κατὰ πρόσωπον συμπλέκεσθαι δύναμιν ἔχων, λάθρα κατ' ἐμοῦ τὴν ἐπιβουλὴν ἐξαρτύνηται, τῷ κατ' ἐμοῦ φονῶντι τὴν παρὰ τῷ ἱερεῖ διαγωγήν μου καταμηνύων· δῆλον δ' ἂν εἴη, τίνες εἰσὶν αἱ ἡμίονοι, ὧν ἐπιστατεῖ οὗτος ὁ Ἰδουμαῖος, ὁ τὴν ἄγονον βουκολῶν φύσιν ϗ ἐπαμφοτερίζουσαν, ἐν ᾗ τοῦ Θεοῦ ἡ εὐλογία τόπον οὐχ εὗρεν· ἡ φύσιν ἐξαρχῆς τὸν πληθυσμὸν ἐντιθεῖσα τῇ κτίσει, ὅτι αὐξάνεσθε ϗ πληθύνεσθε· οὐ γὰρ ἐκ Θεοῦ ὁ πληθυσμὸς τῇ κακίᾳ· ὡς οὐδὲ ἐξ ἀλλήλων ἐστὶν ἡ τοῦ γένους τῶν ἡμιόνων διαδοχή· ἀλλ' ἀεὶ καινοτομεῖ τὸ ζῶον ἡ φύσις, τὸ μὴ ὂν ἐν τῇ κτίσει, δι' ἑαυτῆς παρασοφιζομένη ϗ παρεισάγουσα . . . εἰ γὰρ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς καλὰ λίαν, ἡ δὲ ἡμίονος ἔξω τοῦ καταλόγου τῶν ἐν τῇ κτίσει γεγονότων ἐστὶ, δῆλον ἂν εἴη, ὅτι πρὸς κακίας ἔνδειξιν τὸ ὄνομα τοῦτο ὑπὸ τῆς ἱστορίας

1: „ Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνα-
„ τός;

Ὁ λόγος οὗτος ἀποβλέπει πρὸς τὸν Δωὴκ, ὁ ὁποῖος ἀντὶ νὰ ἐντρέπεται καὶ νὰ σκεπάζῃ τὸ πρόσωπόν του διὰ τὴν μεγάλην κακίαν ὁποῦ ἔκαμε, καὶ ἐθανάτωσε τοὺς Ἱερεῖς, καὶ μίαν ὁλόκληρον πόλιν ἀφάνισεν· αὐτὸς ὅμως ὁ ἀναίσχυντος μουλαροβοσκὸς, καυχᾶται ἀκόμη καὶ εἰς τὴν κακίαν του· (1) κακίαν δὲ ὀνομάζει ἐδῶ, τὴν καθολικὴν πονηρίαν· δυνατὸν δὲ ὀνομάζει τὸν Δωὴκ, διὰ τὴν οἰκείωσιν ὁποῦ εἶχε μὲ τὸν Σαοὺλ· ἢ δυνατὸν αὐτὸν εἶπεν εἰς τὸ νὰ κακοποιήσῃ·

„ Ἀνομίαν ὅλην τὴν ἡμέραν·
2 : „ Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Τὸ μὲν ἐλογίσατο, ἐφθέγξατο εἶπεν ὁ Θεοδοτίων· τὸ δὲ ὅλην τὴν ἡμέραν, καθ᾽ ἑκάστην ἡμέραν εἶπεν ὁ Σύμμαχος· αὕτη δὲ εἶναι ἡ σύνταξις τοῦ ῥητοῦ· πάντοτε ἐλάλησεν ἡ γλῶσσά σου ἀνομίαν, ἀδικίαν· ἀσυνδέτως: ἤγουν ἄνομα καὶ ἄδικα· κατηγορεῖ δὲ ὁ Δαβὶδ μὲ τὰ λόγια ταῦτα, ὅλην τὴν ζωὴν τοῦ Δωὴκ· ἐπειδὴ καὶ αὐτὴ ἦτον πάντῃ διεφθαρμένη· διότι ἂν δὲν ἦτον ὁ Δωὴκ τοιοῦτος κακότροπος καὶ διεστραμμένος, δὲν ἤθελεν ἀφανίσῃ μίαν τοιαύτην πόλιν· (2)

„ Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

Δόλον ἐδῶ ὀνομάζει ὁ Δαβὶδ τὴν διαβολὴν καὶ προδοσίαν· ταύτην γὰρ ὁ διαβαλτὴς καὶ προδότης Δωὴκ, τόσον πολλὰ δυνατὴν καὶ ἐνεργητικὴν κατεσκεύασεν, ὥστε ὁποῦ ὡσὰν ξουράφι ἐξεθέρισε τὴν πόλιν τῶν Ἱερέων· ἐπειδὴ καὶ αὐτὸς ἐδιάβαλεν εἰς τὸν Σα-

ϕίας παρείληπται· ἥτις καρπός ἐςι τοῦ ἐπαμφοτερίζοντος ἐκείνου ξύλου, ὃ καλὸν ϗ πονηρὸν ὀνομάζει ὁ λόγος· καλὸν μὲν, διὰ τὸ κεκρύφθαι τὴν ἁμαρτίαν τῷ τῆς ἡδονῆς δελεάσματι, πονηρὸν δὲ, ὅτι εἰς κακὸν καταλήγει πέρας τὸ νῦν ὡς καλὸν σπουδαζόμενον· οὔτε οὖν ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχει ἡ κακία, οὔτε γενομένη ὡς γίνεται, διαρκεῖ τῇ ὑποςάσει πρὸς τὸ ἀΐδιον· ὡς γὰρ οὐ συντηρεῖ δι᾽ ἑαυτῆς ἑαυτὴν ἡ τῶν ἡμιόνων φύσις, οὕτως οὐδὲ ἡ κακία μένει κατὰ τὸ διηνεκὲς ἡ αὐτὴ φυλασσομένη· ἀλλὰ πάντοτε γίνεται ἄλλη ὑπ᾽ ἄλλου ζωογονουμένη, ὅταν τὸ εὐγενὲς καὶ γαῦρον τῆς ἐν ἡμῖν φύσεως πρὸς ἐπιθυμίαν τῆς ὀνώδους ϗ ἀλόγου συζυγίας κατολισθήσῃ· ὁ τοίνυν ἀλλόφυλος ἐκεῖνος Δωὴκ, ὁ τῷ Σαοὺλ κατὰ τοῦ Δαβὶδ γενόμενος ἄγγελος, ὁ τῆς ἀγόνου ἀγέλης τῶν ἡμιόνων νομεὺς, οὐκ ἂν ἕτερος εἴη παρὰ τὸν πονηρὸν ἄγγελον, τὸν διὰ τῶν ποικίλων τῆς ἁμαρτίας παθημάτων τὴν ἀνθρωπίνην ψυχὴν πρὸς ἑαυτὸν ἐφελκόμενος· ὃς, ὅταν ἴδῃ τινὰ, ὅτι ἐν τῷ οἴκῳ τοῦ ἀληθινοῦ ἱερέως ἐςιν, ἀδυνατῶν πλῆξαι αὐτὸν τοῖς τῶν ἡμιόνων λακτίσμασι, τότε καταμηνύει πρὸς τὸν ἄρχοντα τῆς πονηρίας, τοῦ πνεύματος τοῦ ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· ὁ δὲ ἐῤῥιζωμένος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἐκείνους ποιῆται κατὰ τοῦ τυράννου τοὺς λόγους, οὓς ἐν τῇ ψαλμῳδίᾳ ἠκούσατε.

(1) Ὁ μὲν ἄτονος ἐν κακίᾳ ϗ ὀλίγος, (εἶναι λόγια τοῦ ἀνωτέρω Νύσσης, ἢ παρ᾽ ἄλλοις τοῦ Εὐσεβίου) πλεονάζοντος ἐν αὐτῷ τοῦ κρείττονος τρόπου ὡς ὢν ἀσθενέςερος ἐν κακίᾳ, ἐγκαλύψαιτο ἂν ἁμαρτάνων, ϗ ὑπὸ τοῦ συνειδότος κεντούμενος μετανοήσει· ὁ δὲ δυνατὸς ἐν κακίᾳ, τυφοῦται ἐπ᾽ αὐτῇ, καὶ ἐγκαυχᾶται ὡς ἐπὶ μεγάλῳ κατορθώματι σεμνυνόμενος· λέγοιτο δ᾽ ἂν κυριώτερον ἐν κακίᾳ δυνατὸς, ὁ ἀνθρωποκτόνος, ὁ τῆς κακίας πατήρ· ὁ δὲ Θεοδώριτος καὶ ὁ Βίκτωρ δυνατὸν ἐννοοῦσι τὸν Ῥαψάκην, ὡς τὸ ςρατηγεῖν πεπιςευμένον· τί φησι, κέχρησαι, κακίᾳ μετὰ τοσαύτης ἀναιδείας; τὸ δὲ ὁ δυνατὸς κατ᾽ εἰρωνείαν εἴρηται διὰ τὸ μεγαλοφρονεῖν αὐτόν· λέγει δὲ ὁ Ἡσύχιος „ Θαυμάζοντος ϗ ἀποροῦντος, ὡς εἰκὸς, τὸ προοίμιον, ὅτι τοσοῦτον τινὲς εἰς κακίαν προέκοψαν, ὥςε ἐφ᾽ οἷς δεῖ πενθεῖν, ἐπὶ τούτοις καυχῶνται· τὸν μὲν οὖν Δωὴκ ἡ ἱςορία περιέχει, Ἰούδαν δὲ τὸν προδότην αἰνίττεται ὁ Ψαλμῳδὸς, δυνατὸν λίαν ἐν κακίᾳ γενόμενον, ὥςε τὸν εὐεργέτην ϗ τροφέα ϗ διδάσκαλον προδοῦναι.

(2) Ὁ δὲ Ἡσύχιος λέγει „ Ἡνίκα τοῖς Φαρισαίοις ὁ Ἰούδας ἔλεγεν· „ Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔςησαν αὐτῷ τριάκοντα ἀργύρια, ϗ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ· ὥςε ὅλην τὴν ἡμέραν μελετῶν τὴν ἁμαρτίαν τῆς προδοσίας ἔμεινε, μέχρις ἡ νὺξ ἐπέςη, καθ᾽ ἣν τὸ δρᾶμα ἔπραξε· (ἐν τῇ ἐκδοσ. Σειρᾶ) εἶπε δὲ ϗ ὁ Εὐσέβιος „ Λογιζόμενον ἡ καρδία ἐςι ϗ οὐχ ἡ γλῶσσα· κατὰ δὲ τὸν Σειρὰχ „ Ἐν ςό-

Σαοὺλ, τὸν ἀρχιερέα Ἀβιμέλεχ καὶ τοὺς σὺν αὐτῷ Ἱερεῖς, πῶς εἶναι φίλοι καὶ συνεργοὶ τοῦ Δαβίδ. (1)

3: „ Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύ-
„ νην ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δι-
„ καιοσύνην.

Πάντοτε, λέγει, ἠγάπησας ὦ διαβαλτὰ Δωὴκ, τὸ κακὸν, περισσότερον ἀπὸ τὸ καλὸν, καὶ τὸ νὰ λέγῃς ἄδικα, περισσότερον ἀπὸ τὸ νὰ λέγῃς δίκαια. (2)

4: „ Ἠγάπησας πάντα τὰ ῥήματα κατα-
„ ποντισμοῦ γλῶσσῃ δολίᾳ.

Ἠγάπησας, λέγει, ὦ μουλαροβοσκὲ Δωὴκ, ὅλα τὰ λόγια ἐκεῖνα, ὁποῦ καταποντίζουν καὶ ἀφανίζουν τοὺς ἀνθρώπους, κατὰ τῶν ὁποίων αὐτὰ χύνονται, ὡσὰν ἄγρια κύματα· αὐτὰ δὲ τὰ ἠγάπησε με γλῶσσαν δολερὰν: ἤγουν ἐπίβουλον· μερικὰ δὲ ἀντίγραφα ἔχουν, γλῶσσαν δολίαν· τὸ ὁποῖον πρέπει νὰ ἀναγινώσκεται χωριστά· ἤγουν ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ· καὶ πάλιν ἠγάπησας γλῶσσαν δολίαν. (3)

5: „ Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέ-
„ λος.

Διὰ τοῦτο, λέγει, ἐπειδὴ καὶ ἐσὺ ἠγάπησας τὰ ἀνωτέρω βλαβερὰ, ἄμποτε ὁ Θεὸς νὰ σὲ χρημνίσῃ· διὰ τί κακῶς οἰκοδομήθης καὶ ὑψώθης μὲ τὸν διαβαλμὸν καὶ προδοσίαν, ὁποῦ εἰς τὸν Σαοὺλ ἔκαμες· ἀγκαλὰ δὲ καὶ τὸ καθέλοι σε καὶ τὰ λοιπὰ εἶναι εὐχτικὰ, ὅμως εἰς τύπον κατάρας, εἶναι προφητεῖαι τοῦ ἀφανισμοῦ, ὁποῦ ἔμελλε νὰ λάβῃ ὁ Δωὴκ.

„ Ἐ-

στόματι μωρῶν ἡ καρδία αὐτῶν· (ἐξεπήδησε γὰρ ἡ καρδία ἐπὶ τὰ χείλη αὐτῶν· καρδία δὲ σοφῶν στόμα αὐτῶν· ἐπεὶ οὖν μωρός ἐστιν καὶ οὗτος διάβολος ὢν, διὰ τοῦτό φησιν „ Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου (Σειρ. κά. 29.)

(1) Ὅθεν ἐπιφωνεῖ ὁ θεῖος Κύριλλος „ Τοῦτο περὶ τοῦ Δωὴκ εἴρηται διὰ τὸ ξυρῆσαι καὶ ἐκκόψαι πᾶσαν τῶν ἱερέων τὴν πόλιν· οὕτως ὀξεῖα ἦν ἡ διαβολή· ὁ δὲ Νύσσης Γρηγόριος λέγει „ Καὶ ἡ γλῶσσα δὲ τοῦ διαβόλου ὡσεὶ ξυρὸν ἠκονημένον ἐστίν· ὥσπερ γὰρ ὁ κατ' ἄκρον ἠκονημένος ξυρὸς αἴσθησιν οὐ παρέχει τῷ κειραμένῳ τῆς τῶν τριχῶν ἀφαιρέσεως· οὕτω τῷ πλήθει τῆς περὶ τὴν κακίαν σοφιστικῆς πανουργίας ὁ διάβολος μηχανώμενος δόλον, ἀποκείρων τῆς ψυχῆς τὴν χάριν τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ἀνεπαίσθητον αὐτῇ ποιεῖται τὴν τούτων ἀφαίρεσιν· αὕτη γὰρ, οἷς ἂν ἐπαχθῇ, ἀποσυλᾷ τῶν τριχῶν τὴν εὐπρέπειαν· καὶ τὰς ἑπτὰ τῶν βοστρύχων σειρὰς, ἐν αἷς ἐστιν ἡ δύναμις ἡμῶν, ἀποτέμνει· νοεῖς δὲ πάντως ἐκ τῆς ἑβδομάδος τῶν πνευματικῶν βοστρύχων τὴν ἔννοιαν· καθὼς Ἡσαΐας τὴν ἑπταχῆ γινομένην τοῦ Πνεύματος χάριν ἀπηριθμήσατο· ὧν ἀποτμηθέντων, καθὼς ἐπὶ τοῦ Σαμψὼν συνέβη, ἕπεται τῶν ὀφθαλμῶν ἡ ἀπώλεια, καὶ τὸ ἐπιγέλαστον εἶναι τοῖς ἀλλοφύλοις, ὅταν μεθύωσιν· ὁ δὲ Ἡσύχιος λέγει „ Τὸ δὲ ὡσεὶ ξυρόν: τουτέστιν ἀναισθήτως τέμνοντα· τί γὰρ ἐκείνου τοῦ δόλου ὀξύτερον, ὃν τῇ γλώσσῃ τῆς προδοσίας πρὸς τοὺς συλλαβόντας τὸν Ἰησοῦν συνέθετο; ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν.

(2) Ὁ δὲ θεῖος Κύριλλος καὶ ὁ Θεοδώρητος λέγουσιν „ Ἠδίκει Δωὴκ καταψευδόμενος τοῦ ἱερέως, καὶ τὰ μὴ πραχθέντα κατ' αὐτοῦ λέγων, τὸ γὰρ εἰπεῖν ὡς ἐπηρώτησεν, (ὁ Ἀβιμέλεχ.) τὸν Θεὸν περὶ τοῦ Δαβίδ, ψεῦδος ἦν, οὐκ ἀλήθεια· ἐξῆν δὲ αὐτῷ λαλῆσαι δικαιοσύνην, διδάξαντι τὸν Σαοὺλ, ὅτι τὴν μὲν αἰτίαν τῆς ἀναχωρήσεως τοῦ Δαβίδ, ἠγνόει ὁ ἱερεύς· ὡς φίλον δὲ αὐτὸν ὑπεδέξατο τοῦ βασιλέως, καὶ ὡς ἀπεσταλμένον ἐπὶ διακονίᾳ βασιλικῇ, εἰς τιμὴν τοῦ πέμψαντος ἐδεξιοῦτο· εἶπε δὲ καὶ ὁ Ἡσύχιος „ Κακία ὁ διάβολος, ὡς κακὰ πάντα καὶ πᾶσι βουλόμενος· ἀγαθοσύνη δὲ ὁ Χριστός· Θεοῦ γὰρ ἡ ἀγαθότης κατὰ φύσιν· ἴδιον τοίνυν ἀφεὶς τὸν Χριστὸν ὁ Ἰούδας τὸν Σατανᾶν ἠγάπησεν· ἀλλὰ καὶ ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην εἵλετο· ἐξὸν γὰρ αὐτῷ τὴν ὄντως δικαιοσύνην λαβεῖν, καὶ μετὰ τῶν λοιπῶν Ἀποστόλων κηρύττειν τὸ Εὐαγγέλιον, εἰς τὴν ἀδικίαν ἑαυτὸν τῆς προδοσίας ἐνέβαλε· τὸ αὐτὸ δὲ πάσχει καὶ πᾶς, ὅς τις κατηγορίᾳ χαίρει, καὶ λοιδορεῖ τὸν ἀδελφὸν, ἡδύτερον τὴν ἀδικίαν: τουτέστι τὸ ψεῦδος λαλῶν· καὶ τὴν δικαιοσύνην σιωπῶν: δηλαδὴ τὴν ἀρετὴν, ἣν ὁ πλησίον κέκτηται. (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(3) Ὁ δὲ θεῖος Κύριλλος λέγει, ὅτι ταῦτα ἠμποροῦν νὰ λέγωνται καὶ κατὰ τῶν ἀρχόντων τῶν Ἰουδαίων καὶ κατὰ τοῦ Ἰούδα, οἵ τινες ἐβλασφήμουν κατὰ τοῦ Χριστοῦ· ὁ δὲ Ἀθανάσιος λέγει „ Ῥήματα καταποντισμοῦ οἱ λόγοι τῆς τοῦ Δωὴκ ψευδολογίας εἴρηνται· ἀθρόως γὰρ πᾶσαν τὴν πόλιν τῶν ἱερέων, ὥσπερ ἐν βυθῷ κατεπόντισε τοῖς ἑαυτοῦ ῥήμασι.

„ Ἐκτίλαισε καὶ μετανάστευσαισε ἀ„πο σκηνώματός σου, καὶ τὸ ῥίζωμά „ σου ἐκ γῆς ζώντων.

Ἄμποτε, λέγει, ὁ Θεὸς νὰ σὲ ξεῤῥιζώσῃ· διὰ τὶ κακῶς εἶσαι φυτευμένος εἰς τὸ ἀμπέλι τοῦ Θεοῦ· καὶ ἄμποτε νὰ μεταθέσῃ: ἤγουν νὰ χωρίσῃ τὴν ψυχήν σου ἀπὸ τὸ σκήνωμά σου: ἤτοι ἀπὸ τὸ σῶμά σου διὰ ταχυτάτου θανάτου· ἢ καὶ νὰ μεταθέσῃ ἐσένα ὅλον ἀπὸ τὸ ὁσπήτιόν σου, νεκρὸν φερόμενον ἔξω· καὶ ἄμποτε νὰ ἀνασπάσῃ τὴν ῥίζαν σου: ἤτοι τὸ γένος σου, κατὰ τὸν Θεοδώριτον· ῥίζα γὰρ τοῦ Δωὴκ ἦτον ὁ πατήρ του καὶ ὁ υἱός του· ὁ μὲν πατήρ του, ὡς βλαστήσας αὐτόν· ὁ δὲ υἱός του ὡς μείνας μετὰ τὸν θάνατον τοῦ πατρός του Δωὴκ, ῥίζα τοῦ γένους του· μὲ τὸ ὄνομα γὰρ τῆς ῥίζης, καὶ τοὺς ἀνιόντας συγγενεῖς: γονεῖς δηλαδὴ καὶ πάππους καὶ προπάππους ἐφανέρωσεν· ὁμοίως καὶ τοὺς κατιόντας: ἤγουν υἱοὺς ἐγγόνους καὶ δισεγγόνους· καὶ ἁπλῶς ὅλην τὴν σειρὰν τοῦ γένους του· γῆν δὲ ζώντων ὠνόμασε τὴν αἰσθητὴν ταύτην, τὴν ὁποίαν κατοικοῦν οἱ πρὸς καιρὸν ζωντανοὶ ἄνθρωποι· ὁμοίως καὶ τὸν ἐν Οὐρανοῖς τόπον, τὸν ὁποῖον κατοικοῦν οἱ παντοτινὰ ζῶντες μακάριοι. (1)

6: „ Ὄψονται δίκαιοι καὶ φοβηθήσονται „ καὶ ἐπ' αὐτὸν γελάσονται.

Οἱ δίκαιοι, λέγει, καὶ ἐνάρετοι ἄνθρωποι, βλέποντες τὸν ἀφανισμὸν, ὁποὺ ἔχει νὰ λάβῃ ὁ διαβαλτὴς Δωὴκ, θέλουν φοβηθοῦν τὴν ἄφευκτον καὶ ἀπαραίτητον κρίσιν τοῦ Θεοῦ· καὶ φοβηθέντες, θέλουν γένουν ἀσφαλέστεροι εἰς τὸ ἑξῆς καὶ προσεκτικώτεροι· καὶ ὄχι μόνον τοῦτο, ἀλλὰ καὶ θέλουν χαροῦν, ὅταν αὐτὲς λάβῃ τὴν πρέπουσαν καταδίκην· καθὼς καὶ ἀλλαχοῦ λέγει „ Εὐφρανθήσεται δίκαιος, ὅταν εἴδῃ ἐκδίκησιν· (Ψαλμ. νζ΄. 10.)(2) ἀδιάφορος δὲ εἶναι ἡ σύνταξις· ἀντὶ γὰρ νὰ γραφῇ ἐπ' αὐτῷ, γράφεται ἐπ' αὐτόν.

„ Καὶ ἐροῦσιν.

7: „ Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν „ Θεὸν βοηθὸν αὐτοῦ.

Οἱ δίκαιοι, λέγει, θέλουν εἰποῦν περὶ τοῦ Δωὴκ νὰ ἄνθρωπος, ὁποῦ δὲν ἠθέλησε νὰ ἔχῃ τὸν Θεὸν βοηθόν του· ἐπειδὴ γὰρ αὐτὸς ἐπρόδωσε τὸν Ἀβιμέλεχ καὶ δὲν ἐσκέπασεν αὐτὸν, ὡς ἀγνοήσαντα τὴν αἰτίαν, διὰ τὴν ὁποίαν κατέφυγεν εἰς αὐτὸν ὁ Δαβίδ· διὰ τοῦτο, λέγω, κατέστησεν ὁ ἄθλιος ἐχθρόν του τὸν ἴδιον Θεὸν, ὅς τις εἶναι ὑπέρμαχος καὶ βοηθὸς τῶν ἀδικουμένων.

„ Ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλούτῳ αὐ„ τοῦ καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Ἀκόλουθον εἶναι νὰ ἦτον πλούσιος ὁ μουλαροβοσκὸς τοῦ Σαοὺλ Δωὴκ, καὶ διὰ τοῦτο λέγει ἐδῶ ὁ Δαβὶδ, πῶς οὗτος ἤλπισεν εἰς τὸν πλοῦτόν του· ἢ πλοῦτον λέγει τὴν κακίαν τοῦ Δωὴκ, διὰ τὴν ὁποίαν εἶπεν αὐτὸν καὶ δυνατὸν ἐν τῇ ἀρχῇ τοῦ Ψαλμοῦ· ματαιότητα δὲ ὠνόμασε, τὸν ἴδιον πλοῦ-

του

(1) Ὁ δὲ Ἡσύχιος λέγει „ Ταῦτα παντὶ μὲν δολίῳ, πολὺ δὲ μᾶλλον πρὸς τὸν προδότην λέγεται· καθεῖλε γὰρ αὐτὸν ὁ Θεὸς εἰς τέλος· καὶ ἀπὸ τοῦ σκηνώματος τουτέστι ἐκ τοῦ τόπου τῆς μαθητείας σου μετέστησε, καὶ τὴν ῥίζαν ὡς ἀκανθώδους φυτοῦ, ἐκ γῆς ζώντων, ἐκ τοῦ γεωργίου τῶν Ἀποστόλων ἐξέτιλεν. (ἐν τῇ ἐκδοθ. Σειρᾷ.)

(2) Ὁ δὲ Νικήτας λέγει „ Φοβηθήσονται μὲν διὰ τὸ μέγεθος τῆς πληγῆς, γελάσονται δὲ, διὰ τὴν τοῦ πάσχοντος ἀλαζονείαν· λέγεται δὲ ὁ λόγος οὗτος καὶ διὰ τὸν Ἰούδαν, ὅς τις ἤλπισεν ἐπὶ τῷ ματαίῳ πλούτῳ καὶ τοῖς τῆς προδοσίας χρήμασιν, οὗ πεσόντος, ἀσφαλέστεροι ἐγένοντο οἱ Ἀπόστολοι· καὶ ἐγέλασαν, οὐκ ἐπὶ τῇ ἀπωλείᾳ τοῦ Ἰούδα χαίροντες, ἀλλὰ τὸν Σατανᾶν χλευάζοντες, ὅτι ἕνα ἀπατήσας, τὰς μυριάδας τῶν πιστῶν ἠσφαλίσατο· ὕφη δὲ καὶ ὁ Ἀθανάσιος „ Τῶν ἀσεβῶν ἀναιρουμένων, οἱ δίκαιοι περίφοβοι γίνονται· καὶ ὁ Δίδυμος· οἱ πάνυ εὐλαβεῖς ὅταν μεταπίπτοντας ἐξ ἀρετῆς εἰς κακίαν ἴδωσί τινας φόβον λαμβάνουσι μὴ τὰ αὐτὰ πάθωσιν.

τον (1) τοῦ Δωὴκ, ὡς ἀνωφελῆ καὶ ἄχρηςον· ἐπειδὴ εἰς τὸν κίνδυνόν του, τίποτε ὁ πλοῦτος δὲν τὸν ὠφέλησεν.

„ Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν „ τῷ οἴκῳ τοῦ Θεοῦ.

Διὰ τὸν ἑαυτόν του προφητεύει ἐδῶ ὁ Δαβὶδ καὶ λέγει, ὅτι ἐκεῖνοι μὲν οἱ ἐχθροὶ, ὁποῦ μὲ ἐπιβουλεύονται, αὐτοὶ καὶ πόλεις ὁλοκλήρους ἐξολοθρεύουσι, καὶ κανένα δὲν λυποῦνται· ἐγὼ δὲ ὁ ὑπ' αὐτῶν ἐπιβουλευόμενος, θέλω διαφυλαχθῶ τόσον πολλὰ, ὥςε ὁποῦ νὰ φαίνωμαι, ὡσὰν μία ἐλαία κατάκαρπος, τῆς ὁποίας δὲν διαφθείρεται ὁ καρπός· θέλω δὲ φυλαχθῶ, ἐπὶ τῇ σκέπῃ πεφυτευμένος τοῦ Θεοῦ· καθὼς καὶ ἡ αἰσθητὴ ἐλαία διαφυλάττεται, πεφυτευμένη οὖσα ἐν τῷ κήπῳ· ἢ οἶκον Θεοῦ τὴν σκηνὴν ὀνομάζει· προφητεύωντας μὲ τοῦτο, ὅτι ἀφ' οὗ νικήσῃ τὸν Σαοὺλ, θέλει λαβῇ τὴν βασιλείαν· καὶ ἀκολούθως θέλει ἔχει ἐδικάς του τὰς πόλεις καὶ τὴν σκηνήν. (2)

„ Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς „ τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ „ αἰῶνος.

Ἐγὼ, λέγει, ἤλπισα, ὄχι εἰς πλοῦτον, ἢ εἰς δύναμίν τινος· καθὼς ἤλπισεν ὁ ἀνωτέρω μουλαροβοσκὸς Δωὴκ· ἀλλὰ εἰς μοναχὸν τὸ ἔλεος τοῦ Θεοῦ, τὸ ὁποῖον δίδει εἰς ἐκείνους, ὁποῦ ἀδικοῦνται· ἐλπίζω δὲ εἰς τὸ ἔλεος τοῦ Θεοῦ, ὄχι μόνον εἰς τὸν παρόντα αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα, ὅταν ἔχῃ νὰ γένῃ ἡ κρίσις καὶ ἀνταπόδοσις τῶν ἔργων τοῦ κάθε ἑνός. (3).

8: „ Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα „ ὅτι ἐποίησας.

Εὐχαριςῶ σοι, λέγει, πάντοτε Κύριε· ὅτι ἐποίησας ἐκδίκησιν: δηλαδὴ κατὰ τὸν Θεοδώριτον· ἔξωθεν γὰρ τοῦτο πρέπει νὰ ὑπακούεται· ἐνδιάθετος δὲ εἶναι καὶ ἐγκάρδιος ἡ φωνὴ αὕτη, ὡς ἀπὸ βάθους ψυχῆς ἀναπεμπομένη· διὰ τοῦ ο καὶ εἶναι ἐλλειπὴς· συνειθίζουν γὰρ ἐκεῖνοι, ὁποῦ ἐκδικοῦνται: ἤγουν βοηθοῦνται παρά τινος, νὰ προσφέρουν τοὺς λόγους των ἐλλειπεῖς· ἐπειδὴ ἡ πολλὴ χαρὰ, ὁποῦ ἔχουν, αὐτὴ ἀποκόπτει τὸ ἐπίλοιπον τοῦ λόγου των· ὅθεν καὶ πολλοὶ βλέποντες τοὺς ἐχθρούς

των

(1) Εἶπε δὲ καὶ ὁ Ἀθανάσιος „ Ἠγάπησε γὰρ χρυσίον μᾶλλον ὁ προδότης λαβεῖν, ἢ βοηθὸν ἔχειν τὸν Ἰησοῦν· (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(2) Γλαφυρὰ δὲ εἶναι ἡ ἀλληγορικὴ ἑρμηνεία, ὁποῦ κάμνει ὁ Νύσσης Γρηγόριος εἰς τὸ ῥητὸν τοῦτο· λέγων· „Δῆλόν ἐςι τὶ ἡμῖν ἡ τῆς ἐλαίας καρπογονία χαρίζεται, διὰ τοῦ δριμυτάτου μὲν ϗ πικροτάτου λυμοῦ, τοῦ κατ' ἀρχὰς ἐντρεφομένου τῇ ὀπώρᾳ, μετὰ τοῦτο δὲ τῆς καταλλήλου πεπάνσεώς τε ϗ γεωργίας εἰς ἐλαίου μεταβαλοῦσα φύσιν· ὅτι φωτὸς γίνεται ὕλη ϗ καμάτων λυτήριον, ϗ πόνων ἄνεσις, ϗ κεφαλῆς φαιδρότης, ϗ πρὸς τοὺς ἀγῶνας τοῖς νομίμως ἀθλοῦσι συνεργεία· ὁ τοίνυν ἐν τῷ οἴκῳ τῆς Ἐκκλησίας τοῦ Θεοῦ διὰ τῆς πίςεως φυτευθεὶς κατὰ τὸν Δίδυμον, καὶ ὡς ἐλαία κατάκαρπος ῥιζωθεὶς, ϗ τὸ ἑδραῖον ϗ ἀμετακίνητον τοῦ κατὰ τὴν πίςιν ςερεώματος ἐν ἑαυτῷ βεβαιώσας, ϗ τὴν ἐλπίδα τοῦ θείου ἐλέου δι' εὐχαριςίας τῇ ἀπειρείᾳ τῶν αἰώνων συμπαρατείνας· ϗ οὕτω τὸ τῶν ἐλπίδων βέβαιον ἀμετάθετον ἔχων, ὡς μὴ κάμνειν τῇ ἀϊδιότητι τῶν αἰώνων τὸν πόθον συνεκτεινόμενος, ἀρετὴν φέρει, ἀλέξουσαν τοὺς ἐκ παθῶν ϗ ἁμαρτημάτων πόνους, ϗ τοὺς ἐπ' αὐτῇ λύουσαν πόνους, ϗ τρέφουσαν τὸ φῶς τῆς γνώσεως· ϗ ἄντικρυς ἐλαία ἐςὶ κατάκαρπος, μηδέποτε γυμνούμενος τῆς ἐλπίδος· ἀλλ' ἀεὶ θάλλουσαν ἔχων περὶ ἑαυτὸν τὴν τῆς πίςεως σωτηρίαν· οὕτω γὰρ τὸ ἀειθαλὲς τοῦ φυτοῦ μιμήσεται, ϗ τὸ πολύκαρπον δὲ αὐτοῦ ζηλώσει, ἄφθονον τὴν ἐλεημοσύνην ἐν παντὶ καιρῷ παρεχόμενος· τήρει δὲ (λέγει ὁ Εὐσέβιος) ὅτι, ὅτε ταῦτα ἔλεγεν ὁ Δαβὶδ φεύγων τὸν Σαοὺλ, οὐκ ἦν οὔτε ἐπὶ τῆς Ἱερουσαλὴμ, ἣν ἐνόμιζον οἱ Ἰουδαῖοι οἶκον εἶναι Θεοῦ, οὔτε ἐπὶ τῆς σκηνῆς, ἀλλὰ παρ' ἑτέροις τὰς διατριβὰς ἐποιεῖτο· ϗ ὅμως οὐκ ἠγνόει ἑαυτὸν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτευμένον· οἶκον Θεοῦ νοῶν, τὸ εὐσεβὲς πολίτευμα, ἀθανασίαν ϗ ζωὴν αἰώνιον ποριζόμενος ἀπὸ τῆς ἀγαθῆς ἐλπίδος.

(3) Λέγει δὲ ὁ Θεοδώριτος „ Διὰ δὴ ταῦτα μηδεὶς ὀκλαζέτω περὶ τοὺς ἀγῶνας φθάσας, ἀλλ' ἐναθλείτω ϗ ἐγκαλλωπιζέσθω τούτοις, περιμένων οὐ μόνον τοὺς μέλλοντας αὐτῷ δίδοσθαι ὑπὲρ τῶν ἄθλων στεφάνους, ἀλλὰ καὶ τῶν ἐχθρῶν ἐνταῦθα θεάσασθαι ἅλωσιν.

των νὰ λαμβάνουν καταδίκην, λέγουν ἐλλειπτικῶς ταῦτα· εἶδον· ἔδωκας: ἤγουν εἶδον τὴν ἐκδίκησίν μου· ἔδωκας δίκην· εἶπε δὲ τὸν ἀνωτέρω λόγον ὁ Δαβίδ, διὰ τὶ ἐπρογνώρισε τὸν ἀφανισμὸν, ὁποῦ ἔμελλον νὰ λάβουν οἱ ἐπιβουλεύοντες αὐτὸν ἐχθροί του. (1)

„ Καὶ ὑπομενῶ τὸ ὄνομά σου· ὅτι χρη-
„ στὸν εναντίον τῶν οσίων σου.

Ἐγὼ, λέγει, θέλω σε προσμένω ἐκδικητὴν Κύριε· κατὰ περίφρασιν δὲ εἶναι ὁ λόγος· διὰ τὶ ὁ Δαβὶδ ἀπὸ τὴν πολλὴν εὐλάβειαν, ὁποῦ εἶχεν εἰς τὸν Θεὸν, ἐλάμβανε πολλαῖς φοραῖς τὸ ὄνομα τοῦ Θεοῦ, ἀντὶ τοῦ Θεοῦ· τοῦτο δὲ ποιῶ, λέγει, διὰ τὶ τὸ ὄνομά σου, ἤτοι τὸ νὰ σὲ προσμένη τινὰς βοηθόν του, τοῦτο λέγω, εἶναι καλὸν καὶ ὠφέλιμον εἰς ἐκείνους, ὁποῦ εἶναι ἀφοσιωμένοι καὶ ἀφιερωμένοι εἰς ἐσένα. (2)

Αὕτη μὲν εἶναι ἡ κατὰ τὸ γράμμα ἑρμηνεία τοῦ παρόντος Ψαλμοῦ· ἠμπορεῖ δὲ οὗτος νὰ λέγεται καὶ ἀπὸ ἡμᾶς τοὺς Χριστιανοὺς ἐναντίον τοῦ Διαβόλου· ὅς τις ἀνομεῖ πάντοτε καὶ δολιεύεται κατ' ἐπάνω μας, ἕως ὁποῦ νὰ μετανασεύσωμεν καὶ νὰ χωρισθῶμεν ἀπὸ τὸ σῶμα τοῦτο· ἤτοι ἕως θανάτου· σκήνωμα δὲ τοῦ Διαβόλου, εἶναι τὸ παραμόνευμα, ὁποῦ κάμνει τριγύρω εἰς τὴν καρδίαν μας· ῥίζωμα δὲ αὐτοῦ, εἶναι ἡ ςερεότης καὶ ἡ ἐπιμονὴ, ὁποῦ ἔχει εἰς τὸ νὰ μᾶς ἐνοχλῇ μὲ διαφόρους λογισμούς· θέλουν δὲ ἰδοῦν οἱ δίκαιοι τὴν ἧτταν καὶ κρημνισμὸν τοῦ ἐχθροῦ· καὶ περισσότερον θέλουν φοβηθοῦν τὸν Θεὸν, ὅς τις βοηθεῖ ἐκείνους, ὁποῦ φοβοῦνται αὐτόν· ἄνθρωπον δὲ ἐδῶ πρέπει νὰ νοήσωμεν τὸν Διάβολον· καθὼς θέλομεν ἑρμηνεύσομεν εἰς τὸν πρῶτον ςίχον τοῦ πεντηκοστοῦ πέμπτου Ψαλμοῦ· καὶ τὰ ἀκόλουθα δὲ ῥητὰ τοῦ Ψαλμοῦ, κατὰ τὴν τροπολογικὴν ἔννοιαν ταύτην ἁρμοδίως θέλομεν νοήσομεν.

Ψαλ.

(1) Ὁ δὲ Εὐσέβιος οὕτω τὸ, ἐποίησας ἑρμηνεύει „ Οὐκ ἐγὼ φησιν ἐποίησα ἐμαυτὸν ἐλαίαν κατάκαρπον· ἀλλὰ σύ· παρὰ σοῦ γὰρ ἡ χάρις· διὸ οὐ παύσομαί σοι τὴν χάριν εἰδὼς, ϰ σοὶ ἐξομολογούμενος· εἶπε δὲ ϰ ὁ Ἡσύχιος „ Ἁρμόττει ταῦτα τὰ ῥήματα Πέτρῳ, εἰς ἀνάμνησιν ἐρχομένῳ τῆς οἰκείας ἀρνήσεως· ὅς τις ὡς ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ: τουτέςιν ἐν τῇ πίςει διηνεκῶς ἱςάμενος, εἰ καὶ πρὸς μικρὸν ὑπέςη τὸν καύσωνα τῆς ἀρνήσεως· ἀλλ' ὅμως οὐκ ἐξηράνθη· τῷ γὰρ δακρύῳ τῆς μετανοίας τὴν ῥίζαν ἐπότισε· διὰ τοῦτό φησιν ἐξομολογήσομαί σοι, ὅτι ἐποίησας· τί ἐποίησας; ἔλεος, χρηςότητα, συμπάθειαν· ὅτι τὸν ἀρνησάμενον, κήρυκα τῶν μυςηρίων ἐποίησας· ςύλον τὸν σαλευθέντα κατέςησας· χρηςὸν δὲ τὸ τοῦ Ἰησοῦ ὄνομα οὐκ Ἰουδαίοις, οὐδὲ εἰδωλολατρείαν νοσοῦσιν· ἀλλ' ἐναντίον τοῖς ὁσίοις τῆς διὰ χάριτος δικαιωθεῖσι· παρὰ τούτοις γὰρ τὸ ὄνομα αὐτοῦ χρηςόν· τί γὰρ τῆς τοῦ Ἰησοῦ προσηγορίας χρηςότερον; ὑπομενῶ δέ, διὰ τί; ἐπειδὴ ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται· (ἐν τῇ ἐκδεδ. Σειρᾷ.)

(2) Λέγει δὲ ὁ Θεοδώριτος „ Ὑπομενῶ τὸ ὄνομά σου οὐ μόνον τοῖς ὑπὲρ σοῦ ἀγῶσι μετὰ πολλῆς τῆς προθυμίας ἐγκαρτερήσω· ἀλλ' ὅτι ϰ χρηςόν· τουτέςι φιλάνθρωπον· τὸ δὲ ἐναντίον τῶν ὁσίων σου, ἀντὶ τοῦ πάρεςιν ἡ βοήθειά σου, ϰ φυλάξεις τοὺς ὑπὲρ τοῦ ὀνόματός σου ἀθλοῦντας· τὸ ἀξιέραςον ὄνομά φησι, τοῖς ἐπιςαμένοις σε, ποθῶν ἀεὶ ϰ προσμένων, ϰ τὴν ἐντεῦθεν ὠφέλειαν καρπούμενος· χρηςὸν γὰρ καὶ τριπόθητον τοῦ Θεοῦ τὸ ὄνομα, οὐ πᾶσιν ἀνθρώποις· ἀλλὰ τοῖς τῆς θεογνωσίας ἠξιωμένοις.



Ψαλμὸς ΝΒʹ.

1 Εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ συνέσεως τῷ Δαβίδ.

Οὗτος ὁ Ψαλμὸς εἶναι ὅμοιος μὲ τὸν ιγʹ. Ψαλμόν. δύω ςίχους μόνον ἔχει περισσότερον ἀπὸ ἐκεῖνον, τοὺς ὁποίους μόνους θέλομεν ἑρμηνεύσομεν ἐδῶ· ἐπειδὴ καὶ τῶν ἄλλων ςίχων τὴν ἐξήγησιν ἐγράψαμεν εἰς τὸν ιγʹ. Ψαλμόν· οἱ δύο δὲ ςίχοι εἶναι παρακάτω ἐδῶ· διὰ νὰ μὴ φανῇ, ὅτι ὁ Ψαλμὸς οὗτος κατὰ λάθος δύω φοραῖς ἀριθμήθη· ἀλλὰ διὰ νὰ φανερωθῇ, ὅτι ἀγκαλὰ καὶ οἱ δύω οὗτοι Ψαλμοί, εἶναι ἕνας κατὰ τὴν ἐκφώνησιν καὶ προφορὰν τῶν λόγων, κατὰ τὴν ἔννοιαν ὅμως διαφέρουσι· διότι ἐκεῖνος μὲν κατηγορεῖ τὸν θυμὸν καὶ τὴν κακίαν τοῦ Σεναχηρεὶμ, καὶ τοῦ Ῥαψάκου, τὰ ὁποῖα ἔδειξαν κατὰ τοῦ βασιλέως Ἐζεκίου· οὗτος δὲ ὁ Ψαλμὸς κατηγορεῖ τὴν κατὰ τοῦ Χριςοῦ λύσσαν τῶν Ἰουδαίων.

Ἐπειδὴ, ἂν ὁ Ψαλμὸς οὗτος δὲν ἐδιέφερε κατὰ τὴν ἔννοιαν ἀπὸ τὸν ιγʹ. δὲν ἤθελεν ἀριθμηθῇ δύω φοραῖς, καὶ νὰ δευτερωθῇ· καὶ νὰ λανθασθοῦν τόσον οἱ Ἑβραῖοι ἑβδομήκοντα, ὁποῦ τὸν μετέφρασαν, ὅσον καὶ οἱ πατέρες, ὁποῦ τὸν ἐξήγησαν· διότι καὶ ἄλλην ἐπιγραφὴν ἔχει ὁ Ψαλμὸς οὗτος διαφορετικὴν ἀπὸ τὴν τοῦ ιγʹ. ἥτις εἰς τὸ τέλος μὲν πέμπει τοὺς ἀναγινώσκοντας, διὰ τὰς προφητείας ὁποῦ περιέχει κατὰ τῶν Ἰουδαίων, αἱ τινες ἐπληρώθησαν εἰς τὸ τέλος· ὑπὲρ Μαελὲθ δὲ γράφει, τὸ ὁποῖον δηλοῖ περὶ χορείας, τῆς ὑπὲρ προθέσεως λαμβανομένης ἀντὶ τῆς περὶ, κατὰ μετάληψιν· τοῦτον γὰρ τὸν Ψαλμὸν ἀναγινώσκοντες ἡμεῖς οἱ Χριςιανοὶ, χορεύομεν διὰ τὴν ἔκβασιν τῶν προφητευθέντων. (1) „ Ἀγαλλιάσεται γάρ φησιν Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ· ὁποῖοι εἴμεθα ἡμεῖς ὁ νέος Ἰσραὴλ, καθὼς ἐν τῷ ιγʹ. Ψαλμῷ ἑρμηνεύσαμεν· τὸ δὲ συνέσεως διδάσκει, ὅτι οἱ ἀναγινώσκοντες τὸν παρόντα Ψαλμὸν, χρειάζονται νὰ ἔχουν σύνεσιν εἰς τὸ νὰ γνωρίσουν, ὅτι οὗτος, ἀγκαλὰ καὶ κατὰ τὰ λόγια εἶναι ὅμοιος μὲ τὸν ιγʹ. Ψαλμὸν, ὅμως κατὰ τὰ νοήματα ἔχει διαφορὰν μυστηριώδη· λοιπὸν μόνους τοὺς δύω διαφορετικοὺς ςίχους πρέπει νὰ ἑρμηνεύσωμεν, τοὺς ὁποίους ἔχει παρακάτω ὁ Ψαλμὸς οὗτος ἀπὸ τὸν ιγʹ. ὡς εἴπομεν.

1:,, Εἰ-

(1) Γλαφυρὰ δὲ εἶναι ἡ ἑρμηνεία, ὁποῦ κάμνει ὁ θεῖος Νύσσης Γρηγόριος „ Καὶ σὺ δὲ ὅταν ἀκούσῃς τῆς ἐπιγραφῆς συναπτούσης τὸ ὑπὲρ Μαελὲθ τῇ εἰς τέλος φωνῇ, τότε γίνωσκε διὰ τοῦ αἰνίγματος συμβουλήν σοι προσάγεσθαι. μὴ ἐγχαυνοῦσθαι τοῖς τῶν πειρασμῶν ἀγωνίσμασιν, ἀλλ' εἰς τὸ τέλος τῆς νίκης βλέπειν· τοῦτο δέ ἐςι τὸ καταταχθῆναι τῇ ἀγγελικῇ χορίᾳ ἢ σὴν ψυχὴν, τῇ προσβολῇ τῶν πειρασμῶν ἐκκαθαρισθεῖσαν, καθάπερ τὴν τοῦ Λαζάρου ἀκούομεν· ἤθελε δὲ ἀπορήσει τινὰς, διὰ τί δύω φοραῖς γράφεται ὁ Ψαλμὸς οὗτος; καὶ ἀποκρινόμεθα πρῶτον, ὅτι ἡ ἀθεΐα καὶ τὸ νὰ λέγῃ τινὰς, ὅτι δὲν εἶναι Θεὸς, εἶναι τόσον μεγάλη καὶ φοβερὰ ἁμαρτία

ὥςε

1: „ Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ
„ οὐκ ἔστι Θεός· διεφθάρησαν
„ καὶ ἐβδελύχθησαν ἐν ἀνομί-
„ αις. (1)

Τούτων τὴν ἑρμηνείαν ζήτει εἰς τὸν ιγ'. Ψαλμόν· τὸ δὲ ἐν ἀνομίαις, ὁποῦ ἔχει ἐδῶ, ἐκεῖ ἔχει ἐν ἐπιτηδεύμασιν.

„ Οὐκ ἔστι ποιῶν ἀγαθόν.

Εἰς τὸν ιγ'. Ψαλμὸν ἔχει „ Οὐκ ἔστι ποιῶν χρηστότητα.

2: „ Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν
„ ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ
„ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν
„ Θεόν.
3: „ Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν·
„ οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν
„ ἕως ἑνός· (Ἐκεῖ ἔχει „ οὐκ ἔστι
„ ποιῶν χρηστότητα.)
4: „ Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζό-
„ μενοι τὴν ἀνομίαν; οἱ κατεσθίον-
„ τες τὸν λαόν μου ἐν βρώσει ἄρτου
„ τὸν Κύριον οὐκ ἐπεκαλέσαντο.
5: „ Ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ
„ ἦν φόβος.

Τὴν ἑρμηνείαν τῶν ῥητῶν τούτων, ὅρα εἰς τὸν ιγ'. Ψαλμόν· ἐν ἐκείνῳ δὲ γράφεται, ἐδειλίασαν, ἐδῶ δέ, ἐφοβήθησαν.

„ Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀν-
„ θρωπαρέσκων.

ὥστε ὁποῦ τὸ Πνεῦμα τὸ ἅγιον δὲν εὐχαριστήθη νὰ ἐλέγξῃ μόνον μίαν φορὰν τὴν ἁμαρτίαν αὐτήν· ἀλλὰ ἐπαρακινήθη νὰ ἐλέγξῃ, νὰ θεατρίσῃ, καὶ νὰ σαϊτεύσῃ αὐτὴν δύω φοραῖς με διπλοῦς ἐλεγμοὺς, καὶ κατηγορίας, διὰ νὰ δείξῃ πόσον εἶναι θεοστυγὴς καὶ θεομίσητος ὑπὲρ πᾶσαν ἄλλην ἁμαρτίαν· ὁ δὲ Λιτῖνος προσθέττει ἐν τῷ νεοτυπώτῳ αὐτοῦ Ψαλτηρίῳ καὶ δευτέραν αἰτίαν ἤγουν ὅτι ὁ μὲν ιγ'. Ψαλμὸς προφητικῶς ἐγράφη περὶ τοῦ Ναβουχοδονόσορος καὶ τῶν Βαβυλωνίων· οὗτος δὲ ἴσως ἐγράφη περὶ τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. προσθέττει ὁμοίως καὶ τρίτην, ὅτι ὁ μὲν ιγ'. Ψαλμὸς διαλαμβάνει περὶ τοῦ διεφθαρμένου κόσμου καὶ τῶν ἀνθρώπων τῶν κατὰ τοὺς χρόνους Δαβίδ· οὗτος δὲ, περὶ τῶν ἀνθρώπων τῶν κατὰ τοὺς χρόνους τοῦ Χριστοῦ· προστίθημι δὲ ἐγὼ καὶ τετάρτην αἰτίαν ὅτι δύω φοραῖς ἐγράφη ὁ ἴδιος Ψαλμὸς οὗτος· διὰ τὶ ἀναφέρει τὰ διεφθαρμένα ἤθη τῶν πρὸ τοῦ Χριστοῦ ἀνθρώπων, καθὼς ὁ Παῦλος αὐτὸν ἐκλαμβάνει· ἵνα οὖν δείξῃ πόσον ἀναγκαία ἦτον ἡ παρουσία τοῦ Χριστοῦ, διὰ τοῦτο δὶς ἀνέφερε τὴν διεφθαρμένην κατάστασιν τῶν ἀνθρώπων, ἀναγκαίως τὸν σωτῆρα καὶ λυτρωτὴν ἀπαιτοῦσα.

(1) Ὁ δὲ μέγας Βασίλειος λέγει „ Ἡ περὶ τὰς ἐντολὰς διαφωνία, κατηγόρημα ἂν εἴη τῆς τοῦ Θεοῦ ἀρνήσεως, κατὰ τὸ, εἶπεν ὁ ἄφρων οὐκ ἔστι Θεός· οὗ καθάπερ τι σημεῖον καὶ ἔλεγχον ἐπιφέρει τὸ, διεφθάρησαν ἐν ἀνομίαις· σημαίνει γὰρ διὰ τούτων ὁ λόγος τὴν ἔκπτωσιν τῶν περὶ Θεοῦ κοινῶν ἐννοιῶν, καὶ τὸν δυσσεβῆ καὶ ἄθεον λογισμὸν τῆς ἀνθρωπότητος ἁπάσης πρὸ τῆς τοῦ σωτῆρος ἐπιφανείας ἐπικρατήσαντα· καὶ δείκνυσιν ὥσπερ χαρακτῆρα τῆς τοιαύτης ἀσεβείας, κατὰ τὸ λεληθὸς ἐμφωλευούσης τῇ ψυχῇ, τὴν κακῶς ὀλλυμένην κακίαν· καὶ ὡς διέφθειραν τὰ σπαρέντα ἐν αὐτοῖς ὑγιῆ περὶ Θεοῦ σπέρματα, καὶ τῇ τῶν βδελυρῶν εἰδώλων λατρείᾳ ἑαυτοὺς παραδεδώκασι, τὴν ἀσέβειαν διελόμενοι εἴς τε τὴν παντελῶς ἀθεΐαν καὶ πολυθεΐαν· καὶ τὰ ἀκόλουθα δρῶντες τοῖς ἀθέοις καὶ ἐνδιαστρόφοις αὐτῶν ἐπιτηδεύμασιν, εἰς πᾶν εἶδος μοχθηρίας περιπεπτώκασιν· οὕτως ἐκβαλόντες τῆς ἑαυτῶν ψυχῆς τὴν εὐσέβειαν οἱ ἄφρονες: ἤγουν ἄθεοι, συνεκβεβλήκασιν αὐτῇ ὡς βασιλίδι πᾶσαν ἀρετήν· καὶ πείσαντες ἑαυτοὺς μηδένα τοῖς τῆς κτίσεως οἴαξιν ἐφεστάναι, ἀδεῶς πᾶν ὁ,τιοῦν δεδράκασιν ἔκτοπον· λέγει δὲ καὶ ὁ ἀδελφὸς αὐτοῦ θεῖος Νύσσης Γρηγόριος „ Πῶς δὲ ἄφρων λέγει ἐν τῇ καρδίᾳ αὐτοῦ: ἤγουν λογίζεται τὸν ἐπὶ πάντων Θεὸν μὴ εἶναι; διαφθαρεὶς καὶ βδελυχθεὶς ἐν τοῖς τοιούτοις τῆς διανοίας ἐπιτηδεύμασι· φθορὰ γὰρ ὡς ἀληθῶς καὶ διάλυσις τοῦ συνεστῶτος, ἡ τοῦ ὄντος ἀπόπτωσις· πῶς γὰρ ἄν τις ἐν τῷ εἶναι εἴη, μὴ ἐν τῷ ὄντι ὤν; πῶς δ' ἄν τις μένει ἐν τῷ ὄντι, μὴ πιστεύων τῷ ὄντι ὅτι ἐστίν; ὁ δὲ ἀληθῶς ὢν Θεὸς, ἐστὶ πάντως· καθὼς τῷ μεγάλῳ Μωϋσεῖ ἡ ὀπτασία τῆς θεοφανείας μεμαρτύρηται· ὁ οὖν ἐκβάλλων τῆς ἑαυτοῦ διανοίας τοῦ Θεοῦ τὸ εἶναι, ἐκ τοῦ ἐκεῖνον μὴ εἶναι λέγειν, ἑαυ-

Ἀνθρωπαρέσκους ὀνομάζει ἐδῶ ὁ Δαβὶδ τοὺς Ἰουδαίους· τὸ ὁποῖον τοῦτο ὄνομα καὶ ὁ Χριςὸς ὠνείδισε πολλάκις εἰς αὐτοὺς, ὑποκριτὰς ὀνομάζων, καὶ κατ' ὄψιν κρίνοντας· ἀπὸ ἀνθρωπαρέσκειαν γὰρ οἱ Ἰουδαῖοι κινούμενοι ἔλεγον πρὸς ἀρέσκειαν καὶ θεραπείαν τοῦ Καίσαρος· „ Πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι· καὶ πάλιν „ Οὐκ ἔχομεν βασιλέα, εἰμὴ Καίσαρα· (Ἰω. ιθ'. 14.) καὶ πρὸς τὸν Πιλάτον δὲ ἔλεγον „ Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· (Ἰω. ιθ'. 12.) τούτων λοιπὸν τῶν ἀνθρωπαρέσκων Ἰουδαίων τὰ κόκκαλα: ἤτοι τὰς φυλὰς, διὰ μέσου τῶν ὁποίων συνίςαται τὸ γένος τῶν Ἰουδαίων, καθὼς καὶ ἀπὸ τὰ κόκκαλα συνίςαται τὸ σῶμα· τούτων, λέγω, τὰς φυλὰς διεσκόρπισε καὶ διέσπειρεν ὁ Θεὸς, εἰς τὸ νὰ εἶναι δοῦλοι καὶ ὑποκείμενοι κάθε ἔθνους· ἢ καὶ ὅταν διεφθάρησαν οἱ Ἰουδαῖοι ἀπὸ τὰ ἅρματα τῶν Ῥωμαίων, διεσπαράχθησαν τὰ νεκρὰ σώματα καὶ κόκκαλα αὐτῶν, ἀπὸ τὰ ἄγρια θηρία τῆς γῆς, καὶ ἀπὸ τοὺς γύπας, καὶ τὰ σαρκοβόρα πετεινὰ τοῦ Οὐρανοῦ· (1)

„ Κατησχύνθησαν, ὅτι ὁ Θεὸς ἐξου-
„ δένωσεν αὐτούς."

Οἱ Ἑβραῖοι, λέγει, ἔγιναν εἰς ὅλα τὰ ἔθνη αἰσχύνη καὶ ἐντροπὴ· μὲ τὸ νὰ ζοῦν ζωὴν δυσυχεςάτην καὶ κακοδαιμονεστάτην, γενόμενοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους τοῦ κόσμου οἱ πλέον βαρυσυμφορώτεροι· τοῦτο δὲ τὸ ἔπαθον, διὰ τὶ ὁ Χριστὸς τοὺς ἐξουδένωσε καὶ τοὺς ἔκαμεν ὄνειδος εἰς ὅλον τὸν κόσμον. (2)

6: „ Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ
„ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι τὸν Θε-
„ ὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐ-
„ τοῦ· ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐ-
„ φρανθήσεται Ἰσραήλ.

Τὴν ἑρμηνείαν τῶν ῥητῶν τούτων, ὅρα εἰς τὸν ιγ'. Ψαλμόν· τοῦτο δὲ ὁποῦ ἔχει ὁ παρὼν Ψαλμὸς „ Ἐν τῷ ἐπιςρέψαι τὸν Θεὸν, ἐκεῖ γράφεται, ἐν τῷ ἐπιςρέψαι Κύριον.

Ψαλ-

τοῦ τὸ εἶναι διέφθειρεν, ἔξω τοῦ ὄντως γενόμενος· οὐκοῦν τὸ λογίσασθαι μὴ εἶναι Θεὸν, μηδὲ προνοεῖν, αἴτιον γέγονε τοῦ διαφθαρῆναι ἡμᾶς ἐν ἀνομίαις· ὁ δὲ διεφθαρμένος βίος βδελυκτοὺς ϗ θεοςυγεῖς ἀπειργάσατο· ϗ διὰ τοῦτο ἔδει τὸν ἰατρὸν ἐλθεῖν τὸν τὰς διαφθορὰς ἡμῶν ἰασόμενον, ϗ τοὺς ἐβδελυγμένους οἰκειωσόμενον· λέγει δὲ ϗ ὁ Ἡσύχιος „ Τίνος γὰρ ἦν τοῦτο; ἀλλ' ἢ ἄφρονος, περὶ οὗ ὁ Ἡσαΐας ἔλεγεν „ Ὁ μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια φρονήσει (Ἡσ. λβ'. ς'.) ποῖα ταῦτα; ὅτι φαῦλά τινα ϗ ἄτοπα ἐργαζόμενοι, καὶ τὴν ἐπ' αὐτοῖς τοῦ Θεοῦ μακροθυμίαν βλέποντες, δέον εὐχαριςεῖν καὶ δοξάζειν ὡς χρηςὸν ϗ ἀνεξίκακον, εἰς παραφροσύνην ἐκτρέπονται, οὐ νομίζοντες Θεὸν ἐφορᾶν τὰ ἀνθρώπινα, ἀκρίτως δὲ ϗ αὐτομάτως φέρεσθαι· ἄριςα δὲ εἶπε καὶ ὁ Δίδυμος „ Ὁ κακῶς περὶ Θεοῦ φρονήσας, ϗ εἰς τὴν ἄλλην ἔρχεται κακίαν· τὴν γὰρ εὐσέβειαν τῆς ἑαυτοῦ ψυχῆς ἐκβαλὼν, συνεκβέβληκεν αὐτῇ πᾶσαν ἀρετὴν ἀκολουθοῦσαν ὡς βασιλίδι τῇ εὐσεβείᾳ.

(1) Ὁ δὲ Θεοδώριτος λέγει „ Οὐκ ἂν δέ τις ἁμάρτοι ϗ τὸν Ῥαψάκην ἀνθρωπάρεσκον ὀνομάσας, ὃς ἐξ Ἑβραίων φὺς βλασφήμους λόγους κατὰ τοῦ Θεοῦ τῶν ὅλων ἠκόντισε, ταύτῃ τοὺς Ἀσσυρίους θεραπεύειν οἰόμενος· ὡς καί τινες ἀφέντες τὸν Θεὸν ὑπ' αὐτοῦ ἐγκατελείφθησαν, οἱ κατὰ Ἰουλιανόν φημι τὸν παραβάτην, τὸν μετὰ ταῦτα βασιλεύσαντα.

(2) Ὁ δὲ θεῖος Κύριλλος λέγει „ Ποῖα ὀςᾶ φησι; τὰς δογματικὰς τῶν Ἑλλήνων ϗ ἀσεβῶν δυνάμεις, ἃς ταῖς ἰδίαις ἐνέθηκαν συγγραφαῖς... ἤρεσαν μὲν γὰρ τῇ τῶν λέξεων λαμπρότητι, καὶ τῇ τῶν λόγων συνθήκῃ· διὰ τοῦτο γὰρ αὐτοὺς ϗ ἀνθρωπαρέσκους καλεῖ· ἀλλ' ἡ τῶν παρ' αὐτοῖς δογμάτων δύναμις, ἥτις διὰ τῶν ὀςέων σημαίνεται· κατηφάνιςαι παντελῶς, ἄπρακτον αὐτὴν ἀποφαίνοντος τοῦ Χριςοῦ, ϗ ἐξουδενοῦντος αὐτούς: δηλονότι τοὺς τὰ Ἑλλήνων συγγεγραφηκότας.

ΨΑΛΜΟΣ ΝΓ΄.

„ Εἰς τὸ τέλος ἐν ὕμνοις, συνέσεως, τῷ Δαβίδ· ἐν τῷ ἐλθεῖν τοὺς
„ Ζιφαίους, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ „ Οὐκ ἰδοὺ
„ Δαβὶδ κέκρυπται παρ' ἡμῖν;
„ (Α΄· Βασιλ. κγ. 19·

Ὅταν ὁ Δαβὶδ ἔφευγεν ἀπὸ τὸν Σαοὺλ, ἐπῆγεν καὶ ἐκάθισεν εἰς τὴν ἔρημον τὴν καλουμένην Ζίφ· οἱ Ζιφαῖοι λοιπὸν οἱ κατοικοῦντες εἰς τὴν ἔρημον ἐκείνην, ὑπεκρίθησαν μὲν, πῶς εἶναι φίλοι μὲ τὸν Δαβίδ, ἐμήνυσαν ὅμως κρυφίως εἰς τὸν Σαοὺλ, πῶς εὑρίσκεται ὁ Δαβὶδ κρυμμένος εἰς αὐτούς· τότε ὁ Σαοὺλ συναθροίσας ςράτευμα, ἐπῆγε κατὰ τοῦ Δαβίδ· ἐπειδὴ δὲ ἠκολούθησε καὶ ἔγινεν ἐκεῖ πόλεμος ἀπὸ τοὺς ἀλλοφύλους, ἐγύρισεν ὀπίσω ὁ Σαούλ· (1) ὅθεν ὁ Δαβὶδ φυγὼν καὶ λυτρωθεὶς ἀπὸ τὸν κίνδυνον τοῦ Σαοὺλ, συνέγραψε τὸν παρόντα Ψαλμὸν εὐχαριςήριον εἰς τὸν Θεόν· διὰ τὶ μὲ τὴν εὐμήχανον πρόνοιάν του, διεσκέδασε τὴν κατὰ τοῦ Δαβὶδ ἐπιβουλὴν τῶν Ζιφαίων· διὰ τοῦτο καὶ καὶ ἐν ὕμνοις ἐπιγράφεται· λέγει γὰρ ἐν αὐτῷ· „ Ἐξομολογήσομαι τῷ ὀνόματί σου Κύριε, ὅτι ἀγαθόν, ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με· εἰς τὸ τέλος δὲ ἐπιγράφεται, διὰ τὶ ἡ ἐν τῷ Ψαλμῷ τούτῳ περιεχομένη προφητεία, ἐπλησίαζεν διὰ νὰ ἔλθῃ εἰς τέλος καὶ ἔκβασιν· προεφήτευσεν γὰρ εἰς αὐτὸν, τὸν ἀφανισμὸν, ὁποῦ ἔμελλον νὰ λάβουν οἱ τοῦτον ἐπιβουλεύοντες, εἰπὼν „ Ἀποςρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου· καὶ πάλιν „ Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου· τὰ ὁποῖα ταῦτα ῥητὰ θέλομεν ἐξηγήσομεν καθαρῶς εἰς τὸν τόπον τους· συνέσεως δὲ ἐπιγράφεται· ὅτι συνετοῦ ἀνδρός εἶναι ἴδιον, τὸ εἰς τοιοῦτον καιρὸν κινδύνων, νὰ ὑμνῇ καὶ νὰ εὐχαριςῇ τὸν Θεὸν, καὶ τοῦτον νὰ ἐπικαλῆται ὡς κριτὴν καὶ ἐκδικητὴν τῶν αὐτὸν ἐπικαλουμένων.

Ὁ

(1) Ὁ δὲ θεῖος Νύσσης Γρηγόριος λέγει „ Ἠθικώτερον δὲ οἱ τῇ στενῇ τῆς αὐχμώδους διαβάσεως προσκαθήμενοι δαίμονες, ὅταν κωλῦσαι τὴν διὰ τοῦ ςενοῦ πορείαν ἡμῶν ἀδυνατήσωσι, τότε πάλιν πρὸς τὸν Σαοὺλ ἀνατρέχουσι, τὸν ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν λυπούμενοι (ἤτοι τὸν Σατανᾶν·) πάντως δὲ ὁ τὴν ἱςορίαν οὐκ ἀγνοῶν, οἶδε ςενὸν καὶ αὐχμώδη τόπον ἐν τῷ μέρει τούτῳ μνημονευόμενον· διὰ δὲ τῆς ἀπεςενωμένης ὁδοῦ, τὴν Εὐαγγελικὴν ἐκείνην τῆς Βασιλείας ὁδὸν ἐνοήσαμεν, ἣν κωλύουσι μὲν οἱ Ζιφαῖοι : τουτέςι τὸ ἀλλόφυλον τῶν Δαιμόνων Ἔθνος, οἱ ὑπηρέται τῆς ἀντικειμένης δυνάμεως· εὑρίσκουσι δὲ ὀλίγοι οἱ τὴν πλατεῖαν ἀποςρεφόμενοι· ἔχει δὲ ἡ λέξις τῆς ἱςορίας οὕτως· οὐκ ἰδοὺ Δαβὶδ κέκρυπται παρ' ἡμῖν, ἐν Μεσσαρᾷ· ἐν τοῖς ςενοῖς ἐν τῇ Καινῇ ἐν τῷ βουνῷ; (Α΄. Βασιλ. κγ΄. 19.) ἀληθῶς γὰρ τῇ ςενῇ ταύτῃ οἱ κατὰ Θεὸν ζῶντες ἐναπεκρύπτονται· δείκνυσι δὲ ταύτην ἡμῖν τὴν ὁδὸν ἡ Καινὴ Διαθήκη, δι' ἧς ἐςι πρὸς τὴν ἀκροτάτην κορυφὴν τοῦ ὄρους ἀνελθεῖν, ἣν βουνὸν ὀνομάζει ὁ λόγος τῆς ἱςορίας· ὅταν οὖν τὴν ὁδὸν ἐκείνην ἀνεμποδίςως παρέλθωμεν, Ζιφαῖοι τῷ τυράννῳ τὴν σωτηρίαν ἡμῶν καταμηνύουσιν· ἡμεῖς δὲ τῷ ὀνόματι τοῦ σεσωκότος τὴν δυναςείαν τῆς εἰς τὸ καλὸν πίςεως ἡμῶν ἀνατίθεμεν λέγοντες· ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με· καὶ τὰ ἑξῆς.

1: „ Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶ-
„ σόν με.

Σῶσόν με, λέγει, ὦ Κύριε, διὰ τὸ ἐδικόν σου ὄνομα· ἤγουν, διὰ τὶ ἐσὺ ὀνομάζεσαι Σωτὴρ καὶ δίκαιος· σῶσόν με δὲ, ἀκόμη καὶ ἀκόμη· ἤγουν παντελῶς καὶ μὲ ὅλην τὴν τελειότητα· διὰ τὶ ἀπὸ κάθε μέρος ἐπιβουλαὶ πολλαὶ περιεκύκλωσάν με. (1)

„ Καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ἐπειδὴ, λέγει, ἐσὺ Κύριε, εἶσαι δυνατὸς, διὰ τοῦτο ἐγὼ εἶμαι βέβαιος, ὅτι θέλεις μὲ κρίνεις μαζὶ μὲ τὸν Σαοὺλ, ὁποῦ καταδυναστεύει τὴν ἐδικήν μου ἀσθένειαν· καὶ θέλεις κάμῃς ἐκδίκησιν εἰς ἐμέ· ἀδιάφορος δὲ εἶναι ἡ σύνταξις τοῦ κρινεῖς με· διὰ τὶ συντάσσεται ἐδῶ μὲ αἰτιατικὴν, εἰς καιρὸν ὁποῦ ἔπρεπε νὰ συνταχθῇ μὲ δοτικήν: ἤγουν κρινεῖς μοι ὡς καὶ ὁ Θεοδώριτος ἔχει· ἤτοι ποιήσεις μοι κρίσιν καὶ ἐκδίκησιν· τὸ γὰρ κρινεῖς με μὲ αἰτιατικὴν, σημαίνει κυρίως τὸ κατακρινεῖς με. (2)

2: „ Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς
„ μου· ἐνώτισαι τὰ ῥήματα τοῦ στό-
„ ματός μου.

Τὸ εἰσάκουσον καὶ τὸ ἐνώτισαι, καὶ τὰ τοιαῦτα ῥήματα, φαίνονται μὲν, ὅτι δὲν ἔχουν διαφοράν· ἀλλὰ σημαίνουσιν ἐπίτασιν καὶ αὔξησιν δεήσεως· ἔτζι γὰρ παρομοίως εἶπε καὶ ἐν τῇ ἀρχῇ τοῦ δ'. Ψαλμοῦ, καὶ ἐν τῇ ἀρχῇ τοῦ ε'. καὶ ἐν ἀρχῇ τοῦ ις'. καὶ εἰς πολλοὺς ἄλλους· οἱ φιλοπονώτεροι ὅμως εὑρίσκουν, πῶς ἔχουν διαφορὰν τὰ τοιαῦτα ῥήματα· ἠμποροῦμεν δὲ νὰ εἰποῦμεν, ὅτι προσευχὴν μὲν ἐδῶ λέγει, τὴν κατὰ νοῦν καὶ νοεράν· ῥήματα δὲ στόματος, τὴν διὰ χειλέων καὶ στόματος προφερομένην ἱκεσίαν: ἤτοι καθὼς εἶναι τὸ ἀνωτέρω: ἤγουν τὸ, ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με· καὶ ἄλλα τοιαῦτα ὅμοια. (3)

3: „ Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ,
„ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν
„ μου.

Ἀλλοτρίους καὶ κραταιοὺς ὀνομάζει ὁ Δαβὶδ, τοὺς

---

(1) Ὁ δὲ Θεοδώριτος λέγει „ Ἀρκεῖ μοί φησι πρὸς ἀσφάλειαν ἡ τοῦ σοῦ ὀνόματος κλῆσις· οὕτω ϗ οἱ θεῖοι Ἀπόστολοι τὰ μεγάλα εἰργάζοντο θαύματα· „ Ἐν τῷ ὀνόματι γάρ φησι Ἰησοῦ Χριστοῦ ἔγειραι ϗ περιπάτει· ἄλλος δὲ λέγει· ὥσπερ ἐστί τινα ὀνόματα ϗ ῥήματα ἐν ταῖς κατὰ τῶν ἰοβόλων ἑρπετῶν ἐπῳδαῖς, τοσαύτην ἐμφαίνοντα δύναμιν, ὡς κατακοιμίζειν, ἢ νεκροῦν τὰ φοβερώτερα τῶν ἑρπυστικῶν· οὕτω ϗ τὸ τοῦ Θεοῦ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἡγήσατο περιγενέσθαι τῶν ἐχθρῶν· ματαία γὰρ πᾶσα ἡ παρ' ἀνθρώπου σωτηρία· τὸ ὄνομά σου φησὶ μόνον, τὸ φοβερὸν, τὸ παντοδύναμον, εἰς ἐμὴν σωτηρίαν ἐπικέκλημαι· εἶπε δὲ ϗ ὁ Ἡσύχιος „ Μὴ διὰ πράξεις φησίν· οὐδὲ γὰρ ἀξιοχρέους ἔχω· μὴ διὰ πατέρων εὐγένειαν· ἄλλος γὰρ ἄλλον διασῴζειν οὐ δύναται· ἀλλ' ἐν τῷ ὀνόματί σου σῶσόν με· τοῦτο γὰρ σωτηρία διηνεκὴς ϗ ἄσυλος ἵσταται· εἰ γὰρ λῃσταῖς τινες, ἢ βαρβάροις περιπεσόντες, εἶτα ὄνομα δυναστῶν παραγαγόντες, ὡς ἐκείνων οἰκεῖοι τοὺς κινδύνους ἐκφεύγουσι: πῶς οὐ πολὺ μᾶλλον ἐν τῷ ὀνόματι τοῦ Θεοῦ ἀπὸ πάσης ἐπιβουλῆς δαιμόνων σῳζόμεθα;

(2) Ὁ δὲ θεῖος Κύριλλος „ Ἐν τῇ δυνάμει σου εἶπε: τουτέστιν ἐν τῷ Υἱῷ· δύναμις γὰρ τοῦ Πατρὸς ὁ Υἱός· οὐκ εἰς κρίσιν δὲ ϗ κόλασιν ἐλθεῖν εὐχόμεθα λέγοντες, κρινεῖς με· ἐπιθυμοῦντες δὲ μᾶλλον ὅσιον τοῖς καθ' ἡμᾶς δικαστὴν γενέσθαι τὸν κριτήν· ὁ δὲ Νύσσης Γρηγόριός φησι· λέγει τοίνυν πρὸς Θεὸν, ὁ τῆς αὐχμώδους τε ϗ στενῆς ἐπιβὰς ϗ φυγαδεύσας τὸ τῶν Ζιφαίων, (ἤτοι τῶν δαιμόνων·) συγκρότημα, ὅτι ἐν τῷ σῷ ὀνόματι γέγονεν ἡμῖν ἡ σωτηρία, ϗ ἐν τῇ δυναστείᾳ σου, ἡ ἐν τῷ καλῷ κρίσις τὴν ἰσχὺν ἔχει· ϗ εἰσαεὶ ταῦτα γενήσεται· Καὶ ὁ Ἡσύχιος λέγει „ Κρῖσιν, οὐχ ἵνα κατακριθῶμεν, ἀλλ' ὥστε ἐλευθερωθῆναι τοῦ τυραννοῦντος βούλεται· διόπερ ἐν δυναστείᾳ κριθῆναι προσηύξατο· ἵνα τοῦ ἀντιδίκου, εἴτε τοῦ αἰσθητοῦ, εἴτε τοῦ νοητοῦ, τῇ δυναστείᾳ τοῦ Θεοῦ χειρωθέντος, ἡμεῖς γενώμεθα τῶν ἐπηρεαζόντων ἀλλότριοι.

(3) Ὁ δὲ Ἡσύχιος φάσκει „ Οὐδὲν ὅπλον πρὸς τοὺς ἐχθροὺς ὑπὲρ τὴν εὐχὴν ἰσχυρότερον ἔχομεν, μόνον ἐὰν ἄξια τοῦ Θεοῦ προσευξώμεθα· ὅπερ ὁ Προφήτης ἑαυτῷ συνειδὼς, ἐνωτίσασθαι τὸν Θεὸν τὰ ῥήματα τοῦ στόματος βούλεται· ἵνα διαγνοὺς ὅτι οὐδὲν ἀνθρώπινον ζητεῖ, τὴν θυσίαν τῆς προσευχῆς προσδέξηται.